2 Κατ' οὐσίαν δ' οὐκ ἔστιν κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ τῶν ὄντων ἐναντίον. οὐδὲ δὴ τοῦ πρός τι· ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος (ἀληθεύεσθαι καὶ μὴ) ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ δὴ ποιοῦντος καὶ πάσχοντος, ἢ κινουμένου καὶ κινοῦντος, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γένεσεως γένεσις, οὐδ' ὅλως μεταβολῆς μεταβολή. πρῶτον μὲν γὰρ διχῶς ἐνδέχεται κινήσεως εἶναι κίνησιν, ἢ ὡς ὑποκειμένου (οἷον ἄνθρωπος κινεῖται ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει· ἆρά γε οὕτω καὶ ἡ κίνησις ἡ θερμαίνεται ἢ ψύχεται ἢ τόπον ἀλλάττει ἢ αὐξάνεται ἢ φθίνει; τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ τῶν ὑποκειμένων τι ἡ μεταβολή), ἢ τῷ ἕτερόν τι ὑποκείμενον ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἕτερον εἶδος [οἷον ἄνθρωπος ἐκ νόσου εἰς ὑγίειαν]. ἀλλ' οὐδὲ τοῦτο δυνατὸν πλὴν κατὰ συμβεβηκός· αὐτὴ γὰρ ἡ κίνησις ἐξ ἄλλου εἴδους εἰς ἄλλο ἐστὶ μεταβολή (οἷον ἀνθρώπου ἐκ νόσου εἰς ὑγίειαν)· καὶ ἡ γένεσις δὲ καὶ ἡ φθορὰ ὡσαύτως, πλὴν αἱ μὲν εἰς ἀντικείμενα ὠδί, ἡ δὲ ὠδί, ἡ κίνησις. ἅμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. δῆλον δὴ ὅτι ὅταν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν (ἐνδέχεται γὰρ ἠρεμεῖν), καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν αἰεί, κἀκείνη ἔκ τινος εἴς τι ἕτερου ἔσται, ὥστε καὶ ἡ ἀντικειμένη ἔσται ὑγίανσις· ἀλλὰ τῷ συμβεβηκέναι, οἷον ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλει, ὅτι ᾧ ὑπάρχει, ἐκεῖνο

ᵇ 11 τοῦ M(Aᵇ) : τῷ FHI : om. EJM(EJ)S 12 *μεταβάλλοντος . . . μὴ* scripsi, cum AT ut vid. : *μεταβάλλοντος* ΠS : *μεταβάλλοντος μηδὲν* M(Aᵇ) : *μηδὲν μεταβάλλοντος* M(EJ) : *μεταβάλλοντος μὴ* Schwegler καὶ ΛMS : om. E 14 ἢ EM : οὐδὲ παντὸς ΛAS 15 *μεταβολῆς μεταβολή* S : *μεταβολὴ μεταβολῆς* Π 17 *ἄνθρωπος* scripsi : ὁ *ἄνθρωπος* EHM : *ἄνθρωπος* FIJ 18 *ἆρά γε* om. EH : *ὥστε* M 19 *ἀλλάττει* EM : *μεταλλάττει* Λ 21 *ἐκ*] *εἶναι ἐκ* I 22 *οἷον . . . ὑγίειαν* hic ΠM : post *μεταβολή* ᵇ 24 collocavi, ut vid. cum S 23 *αὐτὴ* E² et ut vid. S : *αὖτη* E¹Λ : *ἅπασι* M(Aᵇ) : *πᾶσα* M(EJ) 24 *εἴδους* FIJS : om. EHM 24–5 *οἷον . . . ὑγίειαν* hic collocavi : post *εἴδος* ᵇ 22 ΠM 25 *ἀνθρώπου* scripsi : *ἄνθρωπον* M : *ἀνθρώπους* S(F) : *ἄνθρωπος* ΠS (cett.) *ἡ* pr. ΛM : *γὰρ ἡ* E 26 *ἡ δὲ ὠδί* M(Aᵇ)S : *ἢ ὠδὶ* E²M(EJ)P : om. Λ : E¹ incertum *ἡ κίνησις* EM(Aᵇ)S : *ἡ δὲ κίνησις* H : *ἡ δὲ κίνησις οὐχ ὁμοίως* FI : *οὐ κινήσεις* M(EJ) 28 δ' FJ *νόσημα* E² 30 *αἰεί* EFJM : *δεῖ γὰρ* H : om. I *κἀκείνη* FIJM : *κἀκείνην* EHS *ἔσται* E¹M : om. E²ΛS *καὶ* EFHIS : om. JM 31 *ὑγίανσις* FMS : *ἡ ὑγίανσις* EHIJ *οἷον* EHM : *οἷον εἰ* FIJ 32–3 *ὅτι . . . μεταβάλλει* om. F

2 Varolanların hiçbiri töze karşıt olmadığından ötürü tözde devinim yoktur. Görelilikte de devinim yok, çünkü [görelilerden] biri devindiğinde ötekinin -doğru olsun olmasın- hiç devinmediği doğru olabilir, dolayısıyla onlardaki devinim ilinekseldir. Etkinliğin ve edilginliğin devinimi ya da devindirilenin ve devindirenin devinimi de yok, çünkü devinimin devinimi, oluşun oluşu, kısaca değişmenin değişmesi olamaz: nitekim ilkin devinimin devinimi olması iki biçimde kabul edilebilir: ya bir taşıyıcının devinimi olarak (sözgelişi bir insan aktan karaya değiştiği için deviniyordur. Acaba bu durumda devinim de ısınır, soğur, yer değiştirir, artar ya da eksilir mi? Ama bu olanaksız, çünkü değişme bir taşıyıcı değil); ya da bir taşıyıcının bir değişme sonucu başka bir biçime değişmesiyle (sözgelişi bir insan hastalıktan sağlığa değişir). Ama bu da ilineksel değilse, olanaksız, çünkü devinimin kendisi bir biçimden başka bir biçime değişmedir - sözgelişi bir insanın hastalıktan sağlığa değişmesi. Oluş ile yokoluşta da bunlar karşıtlara doğru bir biçimde gerçekleşiyor, devinim bir başka biçimde gerçekleşmiyorsa, bu böyle. Demek ki insan sağlıktan hastalığa ve aynı anda bu değişmenin kendisinden başka bir değişmeye doğru değişir. Öyleyse şu açık: hastalandığında herhangi bir başka şeye de değişmiş olacaktır (çünkü durgunlukta da kalabilir); üstelik hep rastgele bir değişmeye uğramayacak, o, bir şeyden bir şeye doğru da olacaktır, dolayısıyla karşıtı olan 'sağlık'a da olabilecektir bu değişme! Ne ki ilineksel anlamda bu olabilir, sözgelişi anımsamadan unutmaya değişme olabilir, çünkü taşıyıcı özne ilgili şeyde kimi kez bilgiye

μεταβάλλει ὁτὲ μὲν εἰς ἐπιστήμην ὁτὲ δ' εἰς ἄγνοιαν. ἔτι εἰς ἄπειρον βαδιεῖται, εἰ ἔσται μεταβολῆς μεταβολὴ καὶ γενέσεως γένεσις. ἀνάγκη δὴ καὶ τὴν προτέραν, εἰ ἡ ὑστέρα ἔσται, οἷον εἰ ἡ ἁπλῆ γένεσις ἐγίγνετό ποτε, καὶ τὸ γιγνόμενον ἐγίγνετο, ὥστε οὔπω ἦν τὸ γιγνόμενον ἁπλῶς, ἀλλά τι γιγνόμενον γιγνόμενον ἤδη, καὶ πάλιν τοῦτ' ἐγίγνετό ποτε, ὥστ' οὐκ ἦν πω τότε γιγνόμενον γιγνόμενον. ἐπεὶ δὲ τῶν ἀπείρων οὐκ ἔστιν τι πρῶτον, οὐκ ἔσται τὸ πρῶτον, ὥστ' οὐδὲ τὸ ἐχόμενον· οὔτε γίγνεσθαι οὖν οὔτε κινεῖσθαι οἷόν τε οὔτε μεταβάλλειν οὐδέν. ἔτι τοῦ αὐτοῦ κίνησις ἡ ἐναντία (καὶ ἔτι ἠρέμησις), καὶ γένεσις καὶ φθορά, ὥστε τὸ γιγνόμενον γιγνόμενον ὅταν γένηται γιγνόμενον, τότε φθείρεται· οὔτε γὰρ εὐθὺς γιγνόμενον οὐθ' ὕστερον· εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. ἔτι ὕλην δεῖ ὑπεῖναι καὶ τῷ γιγνομένῳ καὶ τῷ μεταβάλλοντι. τίς οὖν ἔσται—ὥσπερ τὸ ἀλλοιωτὸν σῶμα ἡ ψυχή, οὕτω τί τὸ γιγνόμενον κίνησις ἢ γένεσις; καὶ πάλιν τί εἰς ὃ κινοῦνται; δεῖ γὰρ εἶναι [τι] τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησιν [καὶ μὴ κίνησιν] ἢ γένεσιν. ἅμα δὲ πῶς καὶ ἔσται; οὐ γὰρ ἔσται μάθησις ἢ τῆς μαθήσεως γένεσις, ὥστ' οὐδὲ γενέσεως γένεσις, οὐδέ τις τινός. ἔτι εἰ τρία εἴδη κινήσεώς ἐστιν, τούτων τινὰ ἀνάγκη εἶναι καὶ τὴν ὑποκειμένην φύσιν καὶ εἰς ἃ κινοῦνται, οἷον τὴν φορὰν ἀλλοιοῦσθαι ἢ φέρεσθαι.

[b] 33 ἄγνοιαν Smith, fort. PS[p]: ὑγίειαν ΠMS[1] ἔτι EHM: ἔτι δ' FIJS 35 ἡ EHJ[2]M: om. FIJ[1] ὑστεραία I 226[a] 2 τὸ FJM(A[b]): om. EHIM(EJ) γρ. A Aspasius γιγνόμενον . . . γιγνόμενον] ἤδη, ἀλλὰ γινόμενον ἦν γρ. A τι γιγνόμενον ΛM(E) γρ. A γρ. S: γιγνόμενόν τι M(A[b]): γιγνόμενον E Aspasius: τι γιγνόμενον ἁπλῶς M(J) 3 γιγνόμενον Bonitz: τότε γιγνόμενον fecit E: καὶ γιγνόμενον FIJ: ἡ γιγνόμενον M(A[b]): ἢ γενόμενον M(EJ): om. H γρ. A γρ. S Aspasius ἤδη ΠM(A[b]) γρ. A γρ. S Aspasius: εἰ δὴ M(EJ) 4 γιγνάμενον alt. E[1]: om. E[2]ΛM ἐπεὶ ΠM: ἐπὶ S δὲ E[2]ΛM: δὴ E[1] οὐκ ἔστιν τι πρῶτον om. F 5 τι om. EJM(EJ)S οὐκ . . . πρῶτον om. M(A[b])S οὔτε et 6 οὔτε pr.] οὔτε τὸ S 8 γιγνόμενον alt. E[1]: om. E[2]ΛM γένηται E[1]FJM: γίγνηται E[2]HIS 9 an γιγνόμενον γιγνόμενον? 10 ὕλην δεῖ EJP: δεῖ ὕλην FHIMS 11 τῷ om. EM 12 σῶμα E[1]HM: ἢ σῶμα E[2]FIJS τί FJM(JA[b])S: τι (sed erasum) καὶ M(E): δὴ E[2]I: om. E[1]H 13 τί EMS: τι Λ τι om. M(A[b])S τοῦδε pr.] τοῦ E[1] 14 καὶ . . . γένεσιν] ἢ γένεσιν E[2]HIAS: καὶ μὴ κίνησιν E[1], fort. T: μὴ κίνησιν MP γρ. A: μὴ κίνησιν ἢ γένεσιν FJ πῶς καὶ E γρ. S: καὶ πῶς Λ γρ. S 16 γενέσεως γένεσις H: γενέσεως γένεσις γένεσις Prantl τινός E[2]HIJ[2]S: om. E[1]FJ[1] 17 τι E[2] καὶ om. FIJ 18 κινεῖται I οἷον om. E[1]H[1]JS: οἷον ἀνάγκη F

kimi kez de bilgisizliğe doğru değişir.

Öte yandan değişmenin değişmesi ve oluşun oluşu olacak olsa sonsuza gidilecektir. Sonraki olacaksa daha öncekinin de olması zorunlu, sözgelişi belli bir anda mutlak anlamda bir oluş oluşmuşsa, oluşan şeyin de oluşmuş olması gerekirdi, dolayısıyla mutlak anlamda oluşan henüz yok idi ama oluşarak oluşan bir şey çoktan vardı! Yine bunun da bir zaman oluşmuş olması gerekirdi, dolayısıyla o anda oluşarak oluşan şey yoktur, bu böyle sonsuza dek sürer. Ama sonsuz sıralamada bir ilk olmadığından ötürü 'ilk' varolmayacaktır, dolayısıyla onu taşıyan da olmayacaktır. Demek ki hiçbir şeyin ne oluşması ne devinmesi ne de değişmesi olacaktır! Yine karşıt devinim (karşıt durgunluk da), oluş ile yokoluş da aynı nesnenin işi, dolayısıyla "oluşurken oluşan nesne" oluşurken oluştuğu sırada yokolur! Çünkü oluşan şey ne hemen ne de daha sonra yokolur, yokolacak nesnenin [önce] varolması gerekir. Ayrıca bir maddenin oluşan nesne ve değişen nesne için taşıyıcı olması gerekir: burada bu madde ne olacak, nasıl nitelik değiştirebilen şey bir beden ya da bir ruh ise, aynı şekilde oluşan şey açısından devinim ya da oluş ne olacak? Yine onların 'ona doğru' devindikleri şey ne olacak? Nitekim belli bir nesnenin şundan şuna deviniminin (ve devinmemesinin) ya da oluşumunun [bir şey] olması gerekir. Ama bu aynı anda nasıl olacak? Nitekim bilme, bilmenin oluşu olmayacaktır, dolayısıyla oluş da oluşun oluşu; belli bir oluş, belli bir oluşun oluşu olmayacak. Ayrıca üç tür devinim varsa, bunlardan birinin hem taşıyıcı doğa hem de ona doğru devinilen şey olması zorunlu; sözgelişi yer değiştirme, ya nitelik değiştirme ya da yer

2. 225^b 33 — 226^b 8

ὅλως δὲ ἐπεὶ κινεῖται [τὸ κινούμενον] πᾶν τριχῶς, ἢ κατὰ συμβεβηκὸς ἢ τῷ μέρος τι ἢ [τῷ] καθ' αὑτό, κατὰ συμβεβηκὸς μόνον ἂν ἐνδέχοιτο μεταβάλλειν τὴν μεταβολήν, οἷον εἰ ὁ ὑγιαζόμενος τρέχοι ἢ μανθάνοι· τὴν δὲ κατὰ συμβεβηκὸς ἀφεῖμεν πάλαι.

ἐπεὶ δὲ οὔτε οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ κίνησιν εἶναι μόνον· ἐν ἑκάστῳ γὰρ ἔστι τούτων ἐναντίωσις. ἡ μὲν οὖν κατὰ τὸ ποιὸν κίνησις ἀλλοίωσις ἔστω· τοῦτο γὰρ ἐπέζευκται κοινὸν ὄνομα. λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ (καὶ γὰρ ἡ διαφορὰ ποιότης) ἀλλὰ τὸ παθητικόν, καθ' ὃ λέγεται πάσχειν ἢ ἀπαθὲς εἶναι. ἡ δὲ κατὰ τὸ ποσὸν τὸ μὲν κοινὸν ἀνώνυμος, καθ' ἑκάτερον δ' αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ τέλειον μέγεθος αὔξησις, ἡ δ' ἐκ τούτου φθίσις. ἡ δὲ κατὰ τόπον καὶ τὸ κοινὸν καὶ τὸ ἴδιον ἀνώνυμος, ἔστω δὲ φορὰ καλουμένη τὸ κοινόν· καίτοι λέγεταί γε ταῦτα φέρεσθαι μόνα κυρίως, ὅταν μὴ ἐφ' αὑτοῖς ᾖ τὸ στῆναι τοῖς μεταβάλλουσι τὸν τόπον, καὶ ὅσα μὴ αὐτὰ ἑαυτὰ κινεῖ κατὰ τόπον. ἡ δ' ἐν τῷ αὐτῷ εἶδει μεταβολὴ ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀλλοίωσίς ἐστιν· ἡ γὰρ ἐξ ἐναντίου ἡ εἰς ἐναντίον κίνησίς ἐστιν, ἢ ἁπλῶς ἢ πῇ· ἐπὶ μὲν γὰρ τὸ ἧττον ἰοῦσα εἰς τοὐναντίον λεχθήσεται μεταβάλλειν, ἐπὶ δὲ τὸ μᾶλλον ὡς ἐκ τοὐναντίου εἰς αὐτό. διαφέρει γὰρ οὐδὲν πῇ μεταβαλλειν ἢ ἁπλῶς, πλὴν πῇ δεήσει τἀναντία ὑπάρχειν· τὸ δὲ μᾶλλον καὶ ἧττόν ἐστι τὸ πλέον ἢ ἔλαττον ἐνυπάρχειν τοῦ ἐναντίου καὶ μή.

ὅτι

226^a 23-9 = 1068^b 15-20

---

[a] 19 τὸ κινούμενον E^2ΛS : om. E^1 ἢ EHS : ἢ τῷ FIJ 20 τῷ] τὸ E τῷ seclusi, om. S : τὸ E^2 21 μόνως FIJS : μὲν E : μέντοι T οἷον] εἰ συμβαίνει τινὶ τροχάσαντι ὑγιαίνειν οἷον γρ. A γρ. S 22 ὁ ὑγιαζόμενος ΛS : ὑγιαζόμενός τις E τρέχει ἢ μανθάνει I 24 καὶ alt.] κατὰ T : καὶ κιτὰ F τὸ ΛST : om. E 28 ποιον FJMS 30 ἀνώνυμον Λ ἑκάτερον FIJT : ἕτερον EH 31 τελειαν ΠS : πλεῖον T 32 ἴδιον καὶ τὸ κοινὸν IJ 33 ἀνώνυμοι I 34 φέρεσθαί γε ταῦτα H : γε φέρεσθαι ταῦτα I : φερεσθαι ταῦτα FJ μόνα FIJST : μόνον EH ἐφ' ἑαυτοῖς FHT : ἐπ' αὐτοῖς I

[b] 1 μὴ ΛS : om. E 2 ἢ ΛPS 3 ἢ pr. om. ΛPS 5 εἰς τὸ αὐτό Moreliana 8 τῷ Λ et ut vid. PS τοῦ ἐναντίου ἐνυπάρχειν Λ μη] μὴ ἐνυπάρχειν πῇ I : μὴ ἐνυπάρχειν τοῦ ἐναντίου πῇ E

değiştirmedir. Kısaca madem [devinen] her şey üç biçimde deviniyor, ya ilineksel anlamda, ya bir şeyin parçası olarak, ya da kendisi açısından, değişmenin değişmesi ancak ilineksel anlamda olası: sözgelişi sağlıklı olan koşuyorsa ya da öğreniyorsa. Ne ki, ilineksel anlamda değişmeyi daha önce[46] bir yana bırakmıştık.

Madem tözde, görelilikte, etkinlikte ve edilginlikte [devinim] yok, nitelikte, nicelikte ve yerde devinim olması kalıyor geriye; çünkü bunların hepsinde karşıolum var. İmdi nitelikteki devinim 'nitelik değiştirme' olsun, ona ortak ad olarak verilmiş olan ad bu. Nitelikten kastettiğim, tözdeki bir şey değil (çünkü ayırıcı özellik de bir nitelik), ona göre etkilendiği ya da etkilenmediği söylenen etkilenim. Nicelikteki devinimin de genel bir adı yok, her bir durumda büyüme ile eksilme, 'tam büyüklüğe doğru' olan büyüme, 'tam büyüklükten' olan ise eksilme. Hem genel hem de özel yere göre olan devinim ise adsız, ama, gerçi asıl anlamda yalnızca yer değiştirirken kendilerinde durma olanağı taşımayan nesnelerin ve yer açısından kendi kendilerine devinmeyen nesnelerin yer değiştirdiği söylenirse de, genel olarak "yer değiştirme" adını verelim. Aynı 226b tür içinde 'daha çok' ile 'daha az'a doğru değişme 'nitelik değiştirme'dir. Bu ya bir karşıttan ya da bir karşıta doğru devinimdir, yani ya mutlak anlamda ya da belli bir biçimde. Devinim 'daha az'a doğru olduğunda değişmenin karşıta doğru olduğu söylenecektir, 'daha çok'a doğru olduğunda ise karşıttan kendisine. Belli bir biçimde değişmekle mutlak anlamda değişmek arasında, karşıtların bulunması gerekmedikçe, hiçbir ayırım yok; çünkü 'daha çok' ile 'daha az', karşıtın daha çok ya da daha az içermesi ya da içermemesi demektir.

μὲν οὖν αὗται τρεῖς μόναι κινήσεις εἰσίν, ἐκ τούτων δῆ-
λον· ἀκίνητον δ' ἐστὶ τό τε ὅλως ἀδύνατον κινηθῆναι, ὥσπερ
ὁ ψόφος ἀόρατος, καὶ τὸ ἐν πολλῷ χρόνῳ μόλις κινούμε-
νον ἢ τὸ βραδέως ἀρχόμενον, ὃ λέγεται δυσκίνητον, καὶ τὸ
πεφυκὸς μὲν κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δὲ τότε
ὅτε πέφυκε καὶ οὗ καὶ ὡς, ὅπερ ἠρεμεῖν καλῶ τῶν ἀκινή-
των μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη
τοῦ δεκτικοῦ. τί μὲν οὖν ἐστι κίνησις καὶ τί ἠρεμία, καὶ πόσαι
μεταβολαὶ καὶ ποῖαι κινήσεις, φανερὸν ἐκ τῶν εἰρημένων.

Μετὰ δὲ ταῦτα λέγωμεν τί ἐστιν τὸ ἅμα καὶ χωρίς, **3**
καὶ τί τὸ ἅπτεσθαι, καὶ τί τὸ μεταξὺ καὶ τί τὸ ἐφεξῆς
καὶ τί τὸ ἐχόμενον καὶ συνεχές, καὶ τοῖς ποίοις ἕκαστον
τούτων ὑπάρχειν πέφυκεν. ἅμα μὲν οὖν λέγω ταῦτ' εἶναι
κατὰ τόπον, ὅσα ἐν ἑνὶ· τόπῳ ἐστὶ πρώτῳ, χωρὶς δὲ ὅσα
23, 227ª 7 ἐν ἑτέρῳ, ἅπτεσθαι δὲ ὧν τὰ ἄκρα ἅμα. | ⟨ἐπεὶ δὲ πᾶσα
μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, τὰ δ' ἀντικείμενα τά τε
ἐναντία καὶ τὰ κατὰ ἀντίφασιν, ἀντιφάσεως δ'⟩ οὐδὲν ἀνὰ
10, 226ᵇ 26 μέσον, φανερὸν ὅτι ἐν τοῖς ἐναντίοις ἔσται τὸ μεταξύ. | ἐν ἐλα-
26, 27 χίστοις δ' ἐστὶ τὸ μεταξὺ τρισίν· ἔσχατον μὲν γάρ | ἐστι τῆς
27, 23 μεταβολῆς τὸ ἐναντίον,) | μεταξὺ δὲ εἰς ὃ πέφυκε πρότερον
ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ
25, 27 φύσιν συνεχῶς μεταβάλλον. [ἐν...εναντιον.] | συνεχῶς δὲ κινεῖ-
ται τὸ μηθὲν ἢ ὅτι ὀλίγιστον διαλεῖπον τοῦ πράγματος—μὴ τοῦ
χρόνου (οὐδὲν γὰρ κωλύει διαλείποντα, καὶ εὐθὺς δὲ μετὰ τὴν
30. ὑπάτην φθέγξασθαι τὴν νεάτην) ἀλλὰ τοῦ πράγματος ἐν ᾧ
κινεῖται. τοῦτο δὲ ἓν τε ταῖς κατὰ τόπον καὶ ἐν ταῖς ἄλ-

226ᵇ 10–16 = 1068ᵇ 20–25 21–5 = 26–30

ᵇ 11 μόλις ET : μόγις Λ 12 ἢ τὸ E²AM(Aᵇ)ST : τὸ M(E) : ὃ τι M(J) : om. E¹ τὸ om. I 16 ἐστι om. F 17 πόσαι FI 18 λέγομεν I καὶ τί τὸ χωρὶς I 20 καὶ τί τὸ συνεχές HI 21 λέγω ES : λέγεται Λ 22 τόπῳ ἐστὶ πρώτῳ (πρῶτον E²) E²FJS : πρώτῳ ἐστὶ τόπῳ H : ἐστι τόπω πρῶτον I : τόπῳ ἐστὶν E¹ : τόπῳ πρώτῳ (πρῶτον Aᵇ) M 23 ἑτέρῳ] ἑτέρῳ τόπῳ I 227ª 7–10 ἐπεὶ . . . μεταξὺ hic collocavi cum T : post 227ª 6 ἅπτηται ΠMS : post 226ᵇ 32 φανερόν ci. Prantl 8 τε om. E 9 τὰ κατὰ ἀντίφασιν] ἀντίφασις EMT 226ᵇ 26–7 ἐν . . . ἐναντίον hic collocandum ci. Cornford : post 25 μεταβάλλον ΠST 26 ἐστὶ τὸ μεταξὺ om. fort. S 23 πρότερον MT : πρῶτον ΠS 24 μεταβαλλει E²AMS : μεταβάλλειν E¹ 26–7 ἐν . . . ἐναντίον ante ᵇ 23 μεταξὺ collocavi 28 ἢ om. E¹ ὅτι] τὸ ΛS ὀλιγοστὸν E¹ μὴ ΠP : ἢ S et ut vid. T 29 γὰρ κωλύει FHS : κωλύει γὰρ EIJ 31 δὲ om. E²H καὶ . . . ἄλλαις om. IT

Demek yalnızca üç tür devinim olduğu bunlardan açığa çıkıyor. Şu-
na "devinmeyen nesne" denir: devinmesi bütünüyle olanaksız olan nes- 10
nedir; tıpkı gürültünün görülmez olması gibi; uzun zaman içinde güçlük-
le devinen nesnedir; çok yavaş devinime başlayan nesnedir -ki buna güç
devinen nesne denir-; doğası gereği devinen, devinebilen ama doğaca
ona verilmiş zamanda, yerde, biçimde devinmeyen nesnedir -ki devinme-
yenler içinde yalnızca buna "durgun olmak" adını veriyorum-, çünkü
durgunluk, devinmeye karşıt, dolayısıyla devinmeyi kabul edebilen bir 15
nesnedeki yoksunluktur. İmdi devinim ne, durgunluk ne, nice değişme
var, devinimler ne tür, bunlar bu söylediklerimizden anlaşılıyor.

3 Bunlardan sonra 'birlikte', 'ayrı', 'bitişik', 'arada', 'ardıl', 'içeren',
'sürekli' ne, ayrıca bunların herbiri hangi nesnelerde doğal olarak bulu-
nuyor, bunları söyleyelim. 'Birlikte'yi ben yerle ilgili, tam anlamıyla tek 20
yerde bulunan nesneler için; 'ayrı'yı başka yerde bulunan nesneler için;
'bitişik'i kenarları birlikte olan nesneler için kullanıyorum. Her değiş-
me karşıolumlarda, karşı olumlarsa ya karşıtlar ya da çelişikler, çelişme-
de orta durum yok, öyleyse açık ki, 'ara durum' karşıtlarda olacaktır.
'Ara durum' en azından üç biçimde sözkonusu: çünkü 'karşıt', değiş-
menin en ucudur. 'Ara durum', değişen nesne doğal olarak sürekli, ke-
sintisiz değişiyorsa, en uca doğru değişmesinden önce varması doğal
olan şey [içinde..... karşıt]. Nesnede hiç kesinti yapmayan ya da son 25,27
derece az kesinti yapan şey sürekli devinir -zamanda değil (çünkü bir
kesinti olması önemli değil, ama elbette alçak sesi yüksek sesten he-
men sonra çıkarmak önemli), kendisinde devinim gerçekleşen nesne- 30
nin kendisinde. Bu hem 'yere göre' olan devinimlerde hem de öteki

2. 226ᵇ 9 — 3. 227ᵃ 25

λαις μεταβολαῖς φανερόν. ἐναντίον δὲ κατὰ τόπον τὸ κατ' εὐθεῖαν ἀπέχον πλεῖστον· ἡ γὰρ ἐλαχίστη πεπέρανται, μέτρον δὲ τὸ πεπερασμένον. ἐφεξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν ὄντος ἢ θέσει ἢ εἴδει ἢ ἄλλῳ τινὶ οὕτως ἀφορισθέντος μηδὲν μεταξύ ἐστι τῶν ἐν ταὐτῷ γένει καὶ οὗ ἐφεξῆς ἐστιν (λέγω δ' οἷον γραμμὴ γραμμῆς ἢ γραμμαί, ἢ μονάδος μονὰς ἢ μονάδες, ἢ οἰκίας οἰκία· ἄλλο δ' οὐδὲν κωλύει μεταξὺ εἶναι). τὸ γὰρ ἐφεξῆς τινὶ ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ ἓν ἐφεξῆς τοῖν δυοῖν, οὐδ' ἡ νουμηνία τῇ δευτέρᾳ ἐφεξῆς, ἀλλὰ ταῦτ' ἐκείνοις. ἐχόμενον δὲ ὃ ἂν ἐφεξῆς ὂν ἅπτηται. [ἐπεί . . . μεταξύ.] τὸ δὲ συνεχὲς ἔστι μὲν ὅπερ ἐχόμενόν τι, λέγω δ' εἶναι συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται, καὶ ὥσπερ σημαίνει τοὔνομα, συνέχηται. τοῦτο δ' οὐχ οἷόν τε δυοῖν ὄντοιν εἶναι τοῖν ἐσχάτοιν. τούτου δὲ διωρισμένου φανερὸν ὅτι ἐν τούτοις ἐστὶ τὸ συνεχές, ἐξ ὧν ἕν τι πέφυκε γίγνεσθαι κατὰ τὴν σύναψιν. καὶ ὡς ποτε γίγνεται τὸ συνέχον ἕν, οὕτω καὶ τὸ ὅλον ἔσται ἕν, οἷον ἡ γόμφῳ ἡ κόλλῃ ἢ ἁφῇ ἢ προσφύσει.

φανερὸν δὲ καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς ἐστι· τὸ μὲν γὰρ ἁπτόμενον ἐφεξῆς ἀνάγκη εἶναι, τὸ δ' ἐφεξῆς οὐ πᾶν ἅπτεσθαι (διὸ καὶ ἐν προτέροις τῷ λόγῳ τὸ ἐφεξῆς ἔστιν, οἷον ἐν ἀριθμοῖς, ἁφὴ δ' οὐκ ἔστιν), καὶ εἰ μὲν συνεχές, ἀνάγκη ἅπτεσθαι, εἰ δ' ἅπτεται, οὔπω συνεχές· οὐ γὰρ ἀνάγκη ἓν εἶναι αὐτῶν τὰ ἄκρα, εἰ ἅμα εἶεν· ἀλλ' εἰ ἕν, ἀνάγκη καὶ ἅμα. ὥστε ἡ σύμφυσις ὑστάτη κατὰ τὴν γένεσιν· ἀνάγκη γὰρ ἁψασθαι εἰ συμφύσεται τὰ ἄκρα, τὰ δὲ ἁπτόμενα οὐ πάντα συμπέ-

226ᵇ 32–227ᵃ 31 = 1068ᵇ 30—1069ᵃ 14

ᵇ 32 μεταβολαῖς] κινήσεσι F 35 ὄντος E¹JMS : μόνον ὄντος E²HIA εἴδει EHJMPS : φύσει FIT οὕτως] οὗ E 227ᵃ 1 ἐστιν ἐφεξῆς F 2 μονὰς μονάδος S 3 οἰκία] οἰκίας E¹ : an οἰκία ἡ οἰκίαι ? δ' om. E² : E¹ incertum εἶναι μεταξύ I 5 ἐφεξῆς τὸ ἓν H τῶν δυο EM νεομηνία F τῇ δευτέρᾳ scripsi : τῆς δευτέρας Π 6 ἐκείνοις ES : ἐκείνων Λ ὂν hic FIJMPS, post ἅπτηται H : om. E 7–10 ἐπεί . . . μεταξύ post 226ᵇ 23 ἅμα collocavi 10 μὲν om. I 12 συνέχονται M 13 τῶν ἐσχάτων E 14 δὲ om. E¹ 15 τὴν om. F σύναψιν ΠM : συναφὴν S ὥσπερ ποτε FH 16 συνέχον E¹FS : συνεχές E²HIJ ἢ] εἰ H 18 ἀνάγκη ἐφεξῆς ΛT 19 ἓν EHJS : ἐν τοῖς FI 21 μὲν] μὲν οὖν H 23 εἶεν et ἓν om. E 24 τὴν] τὴν τε E ἅψεσθαι EI 25 πάντως EH

değişmelerde açık. Yere göre 'karşıt', düz çizgide [birbirinden] en uzak olan şeydir, çünkü en kısa çizgi belirlenmiştir, belirlenmiş olan şey de ölçülür. 'Ardıl'; durum, tür ya da bir başka şey açısından başlangıçtan sonra geldiğinden ötürü böyle belirlendiğine göre, aynı cins içindeki nesnelerle nesne arasında ve nesneyle onun ardılı olduğu nesne arasında eşinsten hiçbir şey olmayan şey, (diyesim, sözgelişi çizgi çizginin, birlik birliğin, ev evin ardılı olur. Başka bir şeyin ardıl olmasına bir engel yok). Çünkü 'ardıl', bir şeyin ardılıdır ve daha sonra gelen bir şeydir; nitekim 'bir', 'iki'nin ardılı değil, ayın ilk günü de ikinci günün ardılı değil, bekiler ötekilerin ardılı. 'İçeren', ardıl olup da bitişik de olan şey. <çünkü.... ara.> 'Sürekli' ise, bir tür 'içeren', diyesim heriki nesnenin bitiştikleri sınır bir ve aynı olduğunda, adının da imlediği gibi "birlikte iye"[47] olurlar. Ama bu kenarların iki olmasında olanaklı değil. Bu belirlemeden sonra şu açık: kendilerinden doğal olarak kesişme açısından tek bir şey oluşan nesnelerde 'süreklilik' sözkonusu. Nasıl 'içeren', bir olursa, aynı şekilde bütün de bir olacaktır: sözgelişi çivilemeyle, yapıştırmayla, lehimle, büyüme ile.

Ne ki temel terimin 'ardıl' olduğu açık, nitekim 'bitişik' olanın 'ardıl' olması zorunlu ama 'ardıl' olan her şeyin 'bitişik' olması zorunlu değil (bunun için 'ardıl' kavramca daha önce gelen terimler içinde bulunuyor, sözgelişi sayılarda. Oysa bitişme yok). Yine 'sürekli' ise, bitişik olması zorunlu ama bitişik olan henüz 'sürekli' değil, çünkü onlar birlikte olsalar bile onların kenarlarının bir olması zorunlu değil. Ama eğer kenarları birse birlikte olmaları da zorunlu. Dolayısıyla büyüme oluşta en son gelir. Çünkü kenarlar birlikte büyüyecekse, bitişik olmaları zorunlu, oysa bitişik olanların hepsi

35 227a 5 10 15 20 25

φυκεν· ἐν οἷς δὲ μὴ ἔστιν ἀφή, δῆλον ὅτι οὐκ ἔστιν οὐδὲ
συμφυσις ἐν τούτοις. ὥστ' εἰ ἔστι στιγμὴ καὶ μονὰς οἵας λέ-
γουσι κεχωρισμένας, οὐχ οἷόν τε εἶναι μονάδα καὶ στιγμὴν
τὸ αὐτό· ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι, ταῖς δὲ μο-
30 νάσιν τὸ ἐφεξῆς, καὶ τῶν μὲν ἐνδέχεται εἶναί τι μεταξύ
(πᾶσα γὰρ γραμμὴ μεταξὺ στιγμῶν), τῶν δ' οὐκ ἀνάγκη·
οὐδὲ γὰρ μεταξὺ δυάδος καὶ μονάδος. τί μὲν οὖν ἐστι τὸ
ἅμα καὶ χωρίς, καὶ τί τὸ ἅπτεσθαι, καὶ τί τὸ μεταξὺ
227b καὶ τὸ ἐφεξῆς, καὶ τί τὸ ἐχόμενον καὶ τὸ συνεχές, καὶ τοῖς
ποίοις ἕκαστον τούτων ὑπάρχει, εἴρηται.

Μία δὲ κίνησις λέγεται πολλαχῶς· τὸ γὰρ ἓν πολ- 4
λαχῶς λέγομεν. γένει μὲν οὖν μία κατὰ τὰ σχήματα τῆς
5 κατηγορίας ἐστί (φορὰ μὲν γὰρ πάσῃ φορᾷ τῷ γένει μία,
ἀλλοίωσις δὲ φορᾶς ἑτέρα τῷ γένει), εἴδει δὲ μία, ὅταν τῷ
γένει μία οὖσα καὶ ἐν ἀτόμῳ εἴδει ᾖ. οἷον χρώματος μὲν
εἰσὶ διαφοραί—τοιγαροῦν ἄλλη τῷ εἴδει μέλανσις καὶ λεύ-
κανσις [πᾶσα οὖν λεύκανσις πάσῃ λευκάνσει ἡ αὐτὴ κατ'
10 εἶδος ἔσται καὶ πᾶσα μέλανσις μελάνσει]—λευκότητος δ' οὐ-
κέτι· διὸ τῷ εἴδει μία λεύκανσις λευκάνσει πάσῃ. εἰ δ' ἔστιν
ἄτθ' ἃ καὶ γένη ἅμα καὶ εἴδη ἐστίν, δῆλον ὡς ἔστιν ὡς εἴδει μία
ἔσται, ἁπλῶς δὲ μία εἴδει οὔ, οἷον ἡ μάθησις, εἰ ἡ ἐπιστήμη
εἶδος μὲν ὑπολήψεως, γένος δὲ τῶν ἐπιστημῶν. ἀπορήσειε
15 δ' ἄν τις εἰ εἴδει μία ⟨ἡ⟩ κίνησις, ὅταν ἐκ τοῦ αὐτοῦ τὸ αὐτὸ εἰς
τὸ αὐτὸ μεταβάλλῃ, οἷον ἡ μία στιγμὴ ἐκ τοῦδε τοῦ τόπου
εἰς τόνδε τὸν τόπον πάλιν καὶ πάλιν. εἰ δὲ τοῦτ', ἔσται ἡ
κυκλοφορία τῇ εὐθυφορίᾳ ἡ αὐτὴ καὶ ἡ κύλισις τῇ βαδίσει.
ἢ διώρισται, τὸ ἐν ᾧ ἂν ἕτερον ἢ τῷ εἴδει, ὅτι ἑτέρα ἡ κίνησις,

[a] 26 οὐκ ἔστιν om. H 27 εἰ om. E²: εἴ τις I λέγουσι] λέγουσιν εἶναι I 31 πασῆς γὰρ γραμμῆς μεταξὺ στιγμὴ γρ. S μεταξὺ δύο στιγμῶν H 32 μεταξὺ γὰρ οὐδὲν E οὐδὲ scripsi cum T: οὐδὲν Λ δυάδος καὶ μοναδος EH1JT: μονάδος καὶ δυάδος FS
[b] 1 τὸ pr. om. E τὸ ult. om. F1J τοῖς om. H 4 τὰ om. E 6 ἑτέρας E¹ εἴδει ΛST: τῷ εἴδει E 7 ἀτόμου εἴδει οἷον E 9–10 πᾶσα . . . μελάνσει seclusi (cf. [b]11 διὸ . . . πάσῃ) 9 πᾶσα δ' οὖν EH 10–11 λευκότητος . . . πάσῃ om. γρ. S: λευκότητος δ' οὐκέτι ante 9 πᾶσα collocandum ci. Cornford 10 οὐκ ἔστιν E1 et fort. S: οὐκ ἔσται H et fort. S 11 τῷ] πῶς H: πως S: ἁπλῶς ci. Cornford πάσῃ om. S εἰ . . . 16 τοῦδε E²ΛST: δὲ E¹ 12 ὡς ἔστιν E², fort. ST: ἔστιν H: οὖν IJ²: om. FJ¹ 13 εἴδει μία H ἡ alt. om. F 15 ἡ addidi ex S εἰς τὸ αὐτὸ τὸ αὐτὸ F 16 ἡ] εἰ ἡ H 18 τῇ εὐθυφορίᾳ E²ΛS: om. E¹ καὶ] τῷ εἴδει καὶ fort. ST 19 ἡ διωρισται E²ΛS: ὥρισται E¹ τῷ εἴδει om. fort. S ἡ HS: om. EFIJ

birlikte büyümüyor. Kendilerinde bitişme olmayan nesnelerde ise, birlikte büyüme de olmayacaktır, bu açık. Dolayısıyla örneğin bir nokta ile bir birlik, söylenegeldiği gibi, ayrı olsalar, birlik ile noktanın aynı olması olanaksız, çünkü noktalarda 'bitişme', birliklerde ise 'ardıllık-ardışıklık' sözkonusu. Ötekilerin ara durumları olabilir (çünkü her çizgi noktaların ara- 30
sında), oysa berikiler için bunun olmaması zorunlu; nitekim 'ikilik' ile 'birlik'in 'arası' yok. İmdi 'birlikte' ile 'ayrı' ne, 'bitişiklik' ne, 'arada' ve 'ardıl' ne, 'içeren' ile 'sürekli' ne, bunların herbiri hangi nesneler için 227b
sözkonusu, bunları söylemiş olduk.

4 Devinim, tek olsa da, çok anlamda kullanılır, çünkü 'bir'i çok anlamda kullanıyoruz. Deyi biçimlerinde cinsce birdir (nitekim yer değiştirme, her yer değiştirme açısından cinsce birdir, oysa nitelik değiş- 5
tirme, yer değiştirmeden cinsce ayrı), ama cinsce bir olduğundan öte, bölünmeyen bir tür içinde olduğu zaman türce de bir olur. Sözgelişi renk ayırımları var, bunun için karalaşma ile aklaşma türce başka [imdi her aklaşma her aklaşma ile türce aynıdır, her karalaşma da karalaş- 10
mayla], ama aklık ile değil. Bunun için bir aklaşma her aklaşma ile türce bir. Hem cins hem de tür olan kimi nesneler varsa, açık ki, devinim bir anlamda türce bir olacak, ama mutlak anlamda türce bir olmayacaktır: sözgelişi öğrenme, kavrama türü olarak bir bilimdir, ama bilimlerin de bir cinsidir. Acaba aynı nesne aynı şeyden aynı şeye de- 15
ğiştiğinde, sözgelişi bir nokta değişik kereler belli bir yerden belli bir yere gittiğinde, devinim tür olarak bir midir, diye sorulabilir. Ne ki bu böyleyse dairesel yer değiştirme, düz yer değiştirme ile aynı olacaktır, dönme de düz gitmeyle. Yoksa kendisinde devinim gerçekleşen nesne türce değişikse devinimin değişik olduğunu, dairesel yer değiştirmenin

3. 227ª 26 — 4. 228ª 14

τὸ δὲ περιφερὲς τοῦ εὐθέος ἕτερον τῷ εἶδει;

γένει μὲν οὖν καὶ εἴδει κίνησις μία οὕτως, ἁπλῶς δὲ μία κίνησις ἢ τῇ οὐσίᾳ μία καὶ τῷ ἀριθμῷ· τίς δ' ἡ τοιαύτη, δῆλον διελομένοις. τρία γάρ ἐστι τὸν ἀριθμὸν περὶ ἃ λέγομεν τὴν κίνησιν, ὃ καὶ ἐν ᾧ καὶ ὅτε. λέγω δ' ὅτι ἀνάγκη εἶναί τι τὸ κινούμενον, οἷον ἄνθρωπον ἢ χρυσόν, καὶ ἔν τινι τοῦτο κινεῖσθαι, οἷον ἐν τόπῳ ἢ ἐν πάθει, καὶ ποτέ· ἐν χρόνῳ γὰρ πᾶν κινεῖται. τούτων δὲ τὸ μὲν εἶναι τῷ γένει ἢ τῷ εἴδει μίαν ἐστὶν ἐν τῷ πράγματι ἐν ᾧ κινεῖται, τὸ δ' ἐχομένην ἐν τῷ χρόνῳ, τὸ δ' ἁπλῶς μίαν ἐν ἅπασι τούτοις· καὶ ἐν ᾧ γὰρ ἓν δεῖ εἶναι καὶ ἄτομον, οἷον τὸ εἶδος, καὶ τὸ ὅτε, οἷον τὸν χρόνον ἕνα καὶ μὴ διαλείπειν, καὶ τὸ κινούμενον ἓν εἶναι μὴ κατὰ συμβεβηκός, ὥσπερ τὸ λευκὸν μελαίνεσθαι καὶ Κορίσκον βαδίζειν (ἓν δὲ Κορίσκος καὶ λευκόν, ἀλλὰ κατὰ συμβεβηκός), μηδὲ κοινόν· εἴη γὰρ ἂν ἅμα δύο ἀνθρώπους ὑγιάζεσθαι τὴν αὐτὴν ὑγίανσιν, οἷον ὀφθαλμίας· ἀλλ' οὐ μία αὕτη, ἀλλ' εἴδει μία. τὸ δὲ Σωκράτη τὴν αὐτὴν μὲν ἀλλοίωσιν ἀλλοιοῦσθαι τῷ εἴδει, ἐν ἄλλῳ δὲ χρόνῳ καὶ πάλιν ἐν ἄλλῳ, εἰ μὲν ἐνδέχεται τὸ φθαρὲν πάλιν ἓν γίγνεσθαι τῷ ἀριθμῷ, εἴη ἂν καὶ αὕτη μία, εἰ δὲ μή, ἡ αὐτὴ μέν, μία δ' οὔ. ἔχει δ' ἀπορίαν ταύτῃ παραπλησίαν καὶ πότερον μία ἡ ὑγίεια καὶ ὅλως αἱ ἕξεις καὶ τὰ πάθη τῇ οὐσίᾳ εἰσὶν ἐν τοῖς σώμασιν· κινούμενα γὰρ φαίνεται τὰ ἐχόντα καὶ ῥέοντα. εἰ δὴ ἡ αὐτὴ καὶ μία ἡ ἐωθεν καὶ νῦν ὑγίεια, διὰ τί οὐκ ἂν καὶ ὅταν διαλιπὼν λάβῃ πάλιν τὴν ὑγίειαν, καὶ αὕτη κἀκείνη μία τῷ ἀριθμῷ ἂν εἴη; ὁ γὰρ αὐτὸς λόγος· πλὴν τοσοῦτον διαφέρει, ὅτι εἰ μὲν δύο, δι' αὐτὸ τοῦτο, ὡς τῷ ἀριθμῷ, καὶ τὰς ἐνεργείας ἀνάγκη (μία γὰρ ἀριθμῷ ἐνέργεια ἑνὸς

20 20 25 30 228ª 5 10

ᵇ 23 κίνησιν μίαν ὁ H 24 δ' ὁ ὅτι HI: δ' F 25 ἐν] ἢ ἐν EH 26 ὁπότε E γὰρ] δὲ F 27 μία EH ἐν om. F 28 τὸ ΠS: τὸ δὲ τῷ ὑποκειμένῳ μίαν ἐν τῷ πράγματι ὁ κινεῖται, τὸ Bonitz ἐχομένην scripsi, fort. cum PS: ἐχόμενον ἢν Π: τῷ ὅτε μίαν εἶναι Bonitz 29 γὰρ ἐν ᾧ FIJ ἓν om. E²: E¹ incertum 30 καὶ αὖ τὸ I οἷον om. FI, erasit J 31 εἶναι] ον E² 228ª 1 ἂν om. FJ ἅμα om. S 2 ὑγίειαν H ὀφθαλμίαν F 3 σωκράτην τὴν μὲν αὐτὴν H 6 αὕτη] ἡ αὐτὴ F οὐχί S 10 μία] μια ὑγίεια F 11 λάβῃ καὶ πάλιν A 12 πλὴν E²ΛS: om. E¹ 13 εἰ αἱ μὲν ἕξεις δύο F¹ δι' . . . ὡς] οὕτως γρ. A δι' E¹HJS: τὸ E²F: om. I ὡς γὰρ τῷ H 14 καὶ EH γρ. A: μία καὶ FIJP ἐνεργείας Hayduck: ἕξεις ΠPST γρ. A

ise düz yer değiştirmeden türce değişik olduğunu belirlememiş miydik?

İmdi devinim, cinsce ve türce bu biçimde bir oluyor; mutlak anlamda ise [yalnızca] tözce ve sayıca bir olan devinim bir. Böyle bir devinimin ne olduğu nesneler bölündüğünde açıkça görülüyor. Nitekim hakkında devinimden sözettiğimiz şeyler sayıca üç: 'ne', 'nerede' ve 'ne zaman'. Dediğim şu: devinen nesnenin 'bir şey', sözgelişi insan, altın olması; bu nesnenin bir yerde, sözgelişi yer açısından, nitelik açısından devinmesi ve herhangi bir zamanda devinmesi zorunlu. Nitekim her şey bir zaman içinde devinir. Bunların cinsce ya da türce bir olması ise devinimin olduğu yerde sözkonusu olur, oysa 'içerme' zamanda sözkonusu olur, devinimdeki mutlak birlik ise bunların hepsinde. Nitekim devinimin gerçekleştiği "çevrenin" bir ve bölünmez olması gerekir: sözgelişi [devinimin] türü. Zaman da öyle, sözgelişi zaman bir olmalı ve bölünmemeli. Yine devinen nesne de bir olmalı, ama 'ak'ın 'kara'laşması, Koriskos'un yürümesi gibi ilineksel anlamda değil (çünkü Koriskos ile 'ak' tek şey ama ilineksel anlamda), hem de genel olmamalı, nitekim iki insanın aynı anda aynı tedavi ile, sözgelişi bir göz hastalığından kurtulmaları olanaklı, ama bu devinim bir değil, yalnızca türce bir. Sokrates'in aynı tür içinde ama değişik zamanlarda değiştiğini düşünsek, yokolmuş olan nesnenin yeniden sayıca bir olarak oluşması olası ise, bu devinim de bir olacaktır; bu olası değilse, devinim aynı olacaktır, ama bir değil. Buna yakın bir sorun da bedenlerdeki sağlığın ve genelde durumlar ile duygulanımların varlıkları açısından bir olup olmadığı, çünkü görünen şu: bunları taşıyan bedenler deviniyor, akıp gidiyor. Nitekim 'sabahki sağlık' ile 'şu andaki sağlık' bir ve aynı olsa, beden sağlığı yitirip yeniden kazandığında, 'sağlık' da niçin [öncekiyle] aynı ve sayıca bir olmasın? Çünkü tanım aynı. Ne ki fark şu denli: iki durum varsa, sayıca böyle olduğundan ötürü etkin halin de [iki] olması zorunlu (çünkü sayıca bir olan nesnenin etkin hali

ἀριθμῷ)· εἰ δ' ἡ ἕξις μία, ἴσως οὐκ ἄν τῳ δόξειέ πω μία καὶ ἡ ἐνέργεια εἶναι (ὅταν γὰρ παύσηται βαδίζων, οὐκέτι ἔστιν ἡ βάδισις, πάλιν δὲ βαδίζοντος ἔσται). εἰ δ' οὖν μία καὶ ἡ αὐτή, ἐνδέχοιτ' ἂν τὸ αὐτὸ καὶ ἓν καὶ φθείρεσθαι καὶ εἶναι πολλάκις.

αὗται μὲν οὖν εἰσιν αἱ ἀπορίαι ἔξω τῆς νῦν σκέψεως· ἐπεὶ δὲ συνεχὴς πᾶσα κίνησις, τήν τε ἁπλῶς μίαν ἀνάγκη καὶ συνεχῆ εἶναι, εἴπερ πᾶσα διαιρετή, καὶ εἰ συνεχής, μίαν. οὐ γὰρ πᾶσα γένοιτ' ἂν συνεχὴς πάσῃ, ὥσπερ οὐδ' ἄλλο οὐδὲν τῷ τυχόντι τὸ τυχόν, ἀλλ' ὅσων ἓν τὰ ἔσχατα. ἔσχατα δὲ τῶν μὲν οὐκ ἔστι, τῶν δ' ἔστιν ἄλλα τῷ εἴδει καὶ ὁμώνυμα· πῶς γὰρ ἂν ἅψαιτο ἢ ἓν γένοιτο τὸ ἔσχατον γραμμῆς καὶ βαδίσεως; ἐχόμεναι μὲν οὖν εἶεν ἂν καὶ αἱ μὴ αἱ αὐταὶ τῷ εἴδει μηδὲ τῷ γένει (δραμὼν γὰρ ἄν τις πυρέξειεν εὐθύς), καὶ οἷον ἡ λαμπὰς ⟨ἡ⟩ ἐκ διαδοχῆς φορὰ ἐχομένη, συνεχὴς δ' οὔ. κεῖται γὰρ τὸ συνεχές, ὧν τὰ ἔσχατα ἕν. ὥστ' ἐχόμεναι καὶ ἐφεξῆς εἰσὶ τῷ τὸν χρόνον εἶναι συνεχῆ, συνεχὴς δὲ τῷ τὰς κινήσεις· τοῦτο δ', ὅταν ἓν τὸ ἔσχατον γένηται ἀμφοῖν. διὸ ἀνάγκη τὴν αὐτὴν εἶναι τῷ εἴδει καὶ ἑνὸς καὶ ἐν ἑνὶ χρόνῳ τὴν ἁπλῶς συνεχῆ κίνησιν καὶ μίαν, τῷ χρόνῳ μέν, ὅπως μὴ ἀκινησία μεταξὺ ᾖ (ἐν τῷ διαλείποντι γὰρ ἠρεμεῖν ἀνάγκη· πολλαὶ οὖν καὶ οὐ μία ἡ κίνησις, ὧν ἐστὶν ἠρεμία μεταξύ, ὥστε εἴ τις κίνησις στάσει διαλαμβάνεται, οὐ μία οὐδὲ συνεχής· διαλαμβάνεται δέ, εἰ μεταξὺ χρόνος)· τῆς δὲ τῷ εἴδει μὴ μιᾶς, καὶ εἰ μὴ διαλείπεται [ὁ χρόνος], ὁ μὲν [γὰρ] χρόνος εἷς, τῷ εἴδει δ' ἡ κίνησις ἄλλη· τὴν μὲν γὰρ μίαν ἀνάγκη

---

15 ἴσως et πω om. S 16 ἡ om. F 17 ἔσται S ἐστὶν H δ' om. Λ 18 καὶ αὕτη Hayduck καὶ ἓν om. H : ἓν E 19 οὖν FHJS : om. EJ 22 μίαν E^1T : μία E^2ΛS 25 ἄψοιτο F 26 μὲν om. H 27 αἱ μὴ αἱ scripsi : μὴ αἱ EJ : αἱ μὴ FHIST 28 ἡ addidi ex T 29 φορᾶς γενομένη (vel γενομένης), συνεχοῦς γρ. S οὔ] οὐκ ἔστι FJ γὰρ om. E^1 τὸ om. FI 30 ἐχόμενα FI 31 συνεχὲς E^2FHI : συνεχεῖς ut vid. S, Bonitz

b 1 γίνηται F 2 τῷ εἴδει εἶναι ΛT 3 μεταξὺ] ἐν τῷ μεταξὺ F : ἐν τῷ μεταξύ τι HI 4 οὖν] μὲν οὖν H 5 εἴ] ἢ H et fecit J^1 : ἡ fecit E 6 οὔτε μία οὔτε FIJ 7 δέ om. F 8 μιᾶς οὔ, καὶ FHI]^2 ὁ pr. . . . γὰρ] μὲν E^1 : ὁ E^2 : ὁ (om. H^1) χρόνος, ὁ μὲν γὰρ Λ : ὁ χρόνος, ὁ μὲν Bonitz 9 εἷς om. E δ' εἴδει Λ ἡ κίνησις om. EFJ ἄλλα H καὶ τῷ εἴδει ἀνάγκη H

ılı bir olur). Ama bir tek durum varsa bile belki biri etkin halin bir ol- 15
madığını düşünebilir (nitekim yürüyüş kesildiğinde, artık yürüyüş olmayacak, yeniden başladığında ise olacaktır). İmdi sağlık bir ve aynı ise pek çok kez yokolmak ve varolmanın da aynı, bir olması olası olsa gerek.

Ne ki bu sorunlar şu andaki araştırmamızın dışında. Her devinim sürekli olduğuna göre, her devinim [yeniden devinimlere] ayrılabilir ise, 20
mutlak anlamda bir olan devinim süreklidir; sürekliyse de birdir, bu zorunlu. Nasıl herhangi bir nesne rastgele bir nesneyle süreklilik oluşturmuyorsa, her devinim de her devinimle süreklilik oluşturmaz; yalnızca uçları bir olan devinimler süreklidir. Bazı nesnelerin uçları bir değildir, bazılarının da birdir ama türce farklıdır ve eşadlıdır. Nitekim bir çizgi ile 25
bir yürüyüşün ucu nasıl bitişebilir ya da bir olabilir? İmdi türce ve cinsce aynı olmayan devinimler de 'içeren' olabilir (nitekim biri koşarken, onun ateşi yükselebilir); sözgelişi bir meşale de elden ele geçirilirken, 'içeren'dir ama sürekli değil. Çünkü 'sürekli'yi 'kenarları-uçları bir olan' diye belirledik. Dolayısıyla nesneler zamanın sürekli olması sayesinde ar- 30
dıl ve 'içeren', devinimleri sürekli olduğunda da sürekli olurlar. Bu ise birtiki nesnenin de kenarı bir olduğunda olur. Bunun için mutlak an- 228b
lamda sürekli ve bir olan devinimin türce aynı olması, bir tek nesnenin devinimi olması ve bir tek zaman içinde gerçekleşmesi zorunlu. Bir tek zaman içinde gerçekleşmeli ki, arada bir devinimsizlik olmasın (çünkü zaman kesintisi içinde zorunlu olarak bir durma vardır. Aralarında dur- 5
ma olan nesneler bir değil, çok olur. Dolayısıyla bir devinim bir durmayla kesildiğinde o devinim ne birdir ne de sürekli; arada bir zaman varsa da kesintiye uğrar). Ama devinim türce aynı değilse, zaman kesintisi olmasa bile, diyesim zaman bir olsa bile, devinim türce başka olacaktır;

4. 228ᵃ 15 — 229ᵃ 3

καὶ τῷ εἶδει μίαν εἶναι, ταύτην δ' ἁπλῶς μίαν οὐκ ἀνάγκη. τὶς μὲν οὖν κίνησις ἁπλῶς μία, εἴρηται· ἔτι δὲ λέγεται μία καὶ ἡ τέλειος, ἐάν τε κατὰ γένος ἐάν τε κατ' εἶδος ᾖ ἐάν τε κατ' οὐσίαν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τὸ τέλειον καὶ ὅλον τοῦ ἑνός. ἔστι δ' ὅτε κἂν ἀτελὴς ᾖ μία λέγεται, ἐὰν μόνον ᾖ συνεχής.

ἔτι δ' ἄλλως παρὰ τὰς εἰρημένας λέγεται μία κίνησις ἡ ὁμαλής. ἡ γὰρ ἀνώμαλος ἔστιν ὡς οὐ δοκεῖ μία, ἀλλὰ μᾶλλον ἡ ὁμαλής, ὥσπερ ἡ εὐθεῖα· ἡ γὰρ ἀνώμαλος διαιρετή. ἔοικε δὲ διαφέρειν ὡς τὸ μᾶλλον καὶ ἧττον. ἔστιν δὲ ἐν ἁπάσῃ κινήσει τὸ ὁμαλῶς ἢ μή· καὶ γὰρ ἂν ἀλλοιοῖτο ὁμαλῶς, καὶ φέροιτο ἐφ' ὁμαλοῦ οἷον κύκλου ἢ εὐθείας, καὶ περὶ αὔξησιν ὡσαύτως καὶ φθίσιν. ἀνωμαλία δ' ἐστὶν διαφορὰ ὅτε μὲν ἐφ' ᾧ κινεῖται (ἀδύνατον γὰρ ὁμαλὴν εἶναι τὴν κίνησιν μὴ ἐπὶ ὁμαλῷ μεγέθει, οἷον ἡ τῆς κεκλασμένης κίνησις ἢ ἡ τῆς ἑλικος ἢ ἄλλου μεγέθους, ὧν μὴ ἐφαρμόττει τὸ τυχὸν ἐπὶ τὸ τυχὸν μέρος)· ἡ δὲ οὔτε ἐν τῷ ὁ οὔτ' ἐν τῷ πότε οὔτε ἐν τῷ εἰς ὅ, ἀλλ' ἐν τῷ ὥς. ταχυτῆτι γὰρ καὶ βραδυτῆτι ἐνίοτε διώρισται· ἧς μὲν γὰρ τὸ αὐτὸ τάχος, ὁμαλής, ἧς δὲ μή, ἀνώμαλος. διὸ οὐκ εἶδη κινήσεως οὐδὲ διαφοραὶ τάχος καὶ βραδυτής, ὅτι πάσαις ἀκολουθεῖ ταῖς διαφόροις κατ' εἶδος. ὥστε οὐδὲ βαρύτης καὶ κουφότης ἡ εἰς τὸ αὐτό, οἷον γῆς πρὸς αὐτὴν ἢ πυρὸς πρὸς αὐτό. μία μὲν οὖν ἡ ἀνώμαλος τῷ συνεχὴς ⟨εἶναι⟩, ἧττον δέ, ὅπερ τῇ κεκλασμένῃ συμβαίνει φορᾷ· τὸ δ' ἧττον μίξις αἰεὶ τοῦ ἐναντίου. εἰ δὲ πᾶσαν τὴν μίαν ἐνδέχεται καὶ ὁμαλὴν εἶναι

ᵇ 10 μίαν καὶ τῷ εἴδει I τὴν αὐτὴν E¹ δ' om. E ἁπλῶς εἶναι μίαν οὐκ ἀνάγκη IJ : οὐκ ἀνάγκη ἁπλῶς μίαν εἶναι F 11–229ᵃ 6 τὶς . . . ἐφαρμόττειν hic ΛPST : post 231ᵃ 2 ἠρέμησις E 11 οὖν] οὖν ἡ I δὲ ΛPS : om. E 12 ἐάν . . . γένος E²ΛS : om. E¹ 13 καὶ τὸ ὅλον H 15 μόνον ᾖ ΛS : ᾖ μόνον E δ'] δὲ καὶ F 16 ὁμαλὴς E²ΛS : ὁμαλῶς E¹ ἡ . . . 17 ὁμαλὴς om. H 18 δὴ E¹ 20 ἁμαλοῦ E²ΛS : ὁμαλῷ A Porphyrius : ὁμαλλω E¹ κύκλω ἢ εὐθεία A Porphyrius 21 αὔξην FI ἀνωμαλία E et ut vid. T : ἀνωμαλίας ΛS 22 ὅτι E ὧν E¹ : οὗ ST ὁμαλῶς F 23 ὁμαλεῖ F 24 ἢ ἡ] ἡ F 25 ἐπὶ τὸ τυχὸν E²ΛS : om. E¹ ἡ E¹FIJ¹ : ὁτὲ E²HJ² 26 ὁ scripsi : ο E¹ : ποῦ E²ΛS ἐν τῷ εἰς ὁ I et ut vid. S : εἰς ὁ FHJ et fecit E 27 γὰρ alt. om. E 28 οὐδ' H 31 τὸ om. F αὐτὴν] αὐτὴν γῆν H 229ᵃ 1 αὐτὸ πῦρ μία H εἶναι addidi ex T 2 μίξις ΠP : μίξει ST αἰεὶ om. T 3 ὁμαλῆ E²FJ

çünkü tek devinimin türce tek olması zorunlu; berikinin mutlak anlamda tek olması ise zorunlu değil. İmdi devinimin mutlak anlamda birliği ne, bunu söylemiş olduk. Bir de devinim cins, tür ya da varlık açısından tam olduğunda, tam devinimin birliğinden de sözedilir, -nasıl ki öteki nesnelerde de 'tam' ve 'bütün', birliğe ilişkin olarak düşünülürse. Kimi kez de devinim tam olmasa bile, eğer yalnızca sürekliyse ona bir denir.

Dediklerimizin dışında, eşbiçimli devinime başka bir anlamda bir denir. Eşbiçimli olmayan devinimin değil; daha çok, düz çizgi biçimindeki devinim gibi, eşbiçimli devinimin bir olduğu görünüyor, çünkü eşbiçimli olmayan devinim bölünebilir. Aralarındaki ayırım tıpkı 'çok' ile 'az' arasındaki ayırım gibi. Her devinimde 'eşbiçimli', 'eşbiçimli olmayan' sözkonusu: nitekim bir nesne eşbiçimli olarak nitelik değiştirebilir; eşbiçimli olarak, sözgelişi dairesel ya da düz, yer değiştirebilir; büyüme ile eksilmede de bu böyle. Eşbiçimli olmama ise kimi kez kendinde devinim gerçekleşen nesnedeki ayırım oluyor (nitekim eşbiçimli olmayan bir büyüklükteki-kütledeki devinimin eşbiçimli olması olanaksız: örneğin, köşeli çizgideki, spiraldeki ya da bir parçası bir parçasına uymayan bir başka büyüklük-kütledeki devinim). Ama eş biçimli olmama; nesnede, zamanda, devinimin kendisine yönelik olduğu şeyde değil, tarzda ortaya çıkar, nitekim kimi kez hızlılık ya da yavaşlık ile belirlenir: hızı sabit olan devinim eşbiçimli, aynı olmayan ise eşbiçimli olmayan devinimdir. Bunun için hızlılık ya da yavaşlık devinimin türleri ya da ayırıcı özellikleri değildir, çünkü bunlar türce farklı bütün devinimlerden sonra gelir. Dolayısıyla nesnenin kendisine ilişkin ağırlık ile hafiflik de: sözgelişi toprağın kendisiyle ilgili ya da ateşin kendisiyle ilgili tür ya da ayırıcı özellik değildir. İmdi eşbiçimli olmayan devinim sürekli olduğundan bütürü birdir, ama köşeli bir çizgi biçimindeki yer değiştirmede sözkonusu olduğu gibi, bu birlik daha az. Birliği daha az olan şey de her zaman karşıtıyla bir karışım taşır. Eğer tek olan her devinimin "ya eşbiçimli

καὶ μή, οὐκ ἂν εἴησαν αἱ ἐχόμεναι αἱ μὴ κατ' εἶδος αἱ αὐταὶ μία καὶ συνεχής· πῶς γὰρ ἂν εἴη ὁμαλὴς ἡ ἐξ ἀλλοιώσεως συγκειμένη καὶ φορᾶς; δέοι γὰρ ἂν ἐφαρμόττειν.

Ἔτι δὲ διοριστέον ποία κίνησις ἐναντία κινήσει, καὶ περὶ μονῆς δὲ τὸν αὐτὸν τρόπον. διαιρετέον δὲ πρῶτον πότερον ἐναντία κίνησις ἡ ἐκ τοῦ αὐτοῦ τῇ εἰς τὸ αὐτό (οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς ὑγίειαν), οἷον καὶ γένεσις καὶ φθορὰ δοκεῖ, ἢ ἡ ἐξ ἐναντίων (οἷον ἡ ἐξ ὑγιείας τῇ ἐκ νόσου), ἢ ἡ εἰς ἐναντία (οἷον ἡ εἰς ὑγίειαν τῇ εἰς νόσον), ἢ ἡ ἐξ ἐναντίου τῇ εἰς ἐναντίον (οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον), ἢ ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον (οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον τῇ ἐκ νόσου εἰς ὑγίειαν). ἀνάγκη γὰρ ἢ ἕνα τινὰ τούτων εἶναι τῶν τρόπων ἢ πλείους· οὐ γάρ ἐστιν ἄλλως ἀντιτιθέναι. ἔστι δ' ἡ μὲν ἐξ ἐναντίου τῇ εἰς ἐναντίον οὐκ ἐναντία, οἷον ἡ ἐξ ὑγιείας τῇ εἰς νόσον· ἡ αὐτὴ γὰρ καὶ μία. τὸ μέντοι γ' εἶναι οὐ ταὐτὸ αὐταῖς, ὥσπερ οὐ ταὐτὸ τὸ ἐξ ὑγιείας μεταβάλλειν καὶ τὸ εἰς νόσον. οὐδ' ἡ ἐξ ἐναντίου τῇ ἐξ ἐναντίου· ἅμα μὲν γὰρ συμβαίνει ἐξ ἐναντίου καὶ εἰς ἐναντίον ἢ μεταξύ—ἀλλὰ περὶ τούτου μὲν ὕστερον ἐροῦμεν, ἀλλὰ μᾶλλον τὸ εἰς ἐναντίον μεταβάλλειν δόξειεν ἂν εἶναι αἴτιον τῆς ἐναντιώσεως ἢ τὸ ἐξ ἐναντίου· ἡ μὲν γὰρ ἀπαλλαγὴ ἐναντιότητος, ἡ δὲ λῆψις. καὶ λέγεται δ' ἑκάστη εἰς ὃ μεταβάλλει μᾶλλον ἢ ἐξ οὗ, οἷον ὑγίανσις ἡ εἰς ὑγίειαν, νόσανσις δ' ἡ εἰς νόσον.

λείπεται δὴ ἡ εἰς ἐναντία καὶ ἡ εἰς ἐναντία ἐξ ἐναντίων. τάχα μὲν οὖν συμβαίνει τὰς εἰς ἐναντία καὶ ἐξ

[a] 4 καὶ . . . αἱ alt.] οὐκ ἂν εἴησαν αἱ ἐχόμεναι καὶ Cornford αἱ ΛS : om. E ἐχόμεναι . . . αὐταὶ scripsi, fort. cum PS : μὴ κατ' εἶδος ἐχόμεναι αὗται (αὐταὶ J, καὶ αὐταὶ I) Π 5 μία ΛT : ἡ μία E 7 κινήσει ἐναντία H 8 δὲ pr. om. E : δὴ F 9 ἡ alt. om. E 10 γένεσις φθορὰ H ἡ om. E¹H 11–12 ἢ ἡ (ἡ om. I) . . . ἐναντίον EHIJPS : om. F 13 οἷον . . . νόσον E¹IJPS : om. E²FH ἡ alt. E²ΛT : om. E¹ εἰς ἐναντίον om. I 14 τῇ om. E¹ 15 τινὰ om. S εἶναι τούτων F 16 ἀντιτιθέναι ΛS : ἀντιθεῖναι E 18 γ' om. FIJ 19 οὐ alt.] οὐ τὸ E : οὐδὲ H τὸ FIJS : ὃν EH 21 μὲν om. IS καὶ ante ἐξ F 22 τούτου μὲν EHP : μὲν τούτου IJ : μὲν τούτων F 23 αἴτιον εἶναι FIJ : αἴτιον H 24 ἀπαλλαγὴ] ἀπαλλαγὴ ἐξ FIJ ἐναντιώσεως H 26 ὑγίανσις ἡ εἰς om. E νόσωσις E¹ : νοσωδης E² 27 ἡ alt. om. E¹ ἡ E²ΛS : ἡ ἐξ ἐναντίων καὶ ἡ E¹ εἰς ἐναντία om. H 28 ἐξ] καὶ ἐξ I τάχα . . . 29 ἐναντίων om. F¹ 28 τὰς FHIS : τὰ EJ

olması ya da olmaması olanaklıysa", türce aynı olmayan devinimler bir de olamazlar, sürekli de. Nitekim nitelik değiştirmeyle yer değiştirmenin karışımı bir devinim nasıl eşbiçimli olabilir? Bunların birbirine uyması gerekecektir.

5 Öte yandan bir devinime hangi devinim karşıt, bu saptanmalı; 'durma' için de bu yapılmalı. İlkin ayrılması gereken de şu: acaba 'aynı nesneden' olan devinim 'aynı nesneye doğru' olan devinime (sözgelişi 'sağlıktan' olan devinim 'sağlığa' olan devinime), tıpkı oluşma ile yokolmanın karşıt görünmesi gibi karşıt mı; ya da 'karşıtlardan' olan devinim mi (sözgelişi 'sağlıktan' olan 'hastalıktan' olana) yoksa karşıtlara olan devinim mi (sözgelişi 'sağlığa' olan devinim, 'hastalığa' olan devinime); yoksa 'bir karşıttan' olan devinim 'karşıtına' olan devinime mi ('sağlıktan' olan devinim 'hastalığa' doğru olana) ya da 'bir karşıttan karşıtına' olan devinim 'öteki karşıttan karşıtına' olan devinime mi (sözgelişi 'sağlıktan hastalığa' olan devinim 'hastalıktan sağlığa' olana) karşıt. Bu tarzlarda birinin ya da birçoğunun karşıt devinim olması zorunlu, çünkü başkaca karşıtlık yok. Ne ki 'bir karşıttan' olan devinim 'karşıtına' olan devinime, sözgelişi 'sağlıktan' olan devinim 'hastalığa' olan devinime karşıt değil. Çünkü bu tek ve aynı şey. Ama onların 'varlığı' aynı şey değil: nasıl ki 'sağlıktan' olan değişme ile 'hastalığa' olan değişmenin varlığı aynı değil. Ne de 'bir karşıttan' olan devinim, 'karşıtına' olan devinime karşıt, çünkü 'bir karşıttan', 'onun karşıtına' ya da 'ara duruma' olan devinim aynı anda gerçekleşir.- ama bunun üzerine daha sonra sözedecegiz.[48] Aslında 'bir karşıta' olan devinim, 'bir karşıttan' olan devinimden daha çok karşıtlığın nedeni diye görülse gerek. Nitekim beriki karşıtlıktan uzaklaşma, öteki ise [karşıtlığı] edinme. Üstelik her devinim adını 'nereden' ise ondan çok, 'nereye' ise ondan alır. Sözgelişi 'iyileşme = sağlıklılık', adını 'sağlığa' olan devinimden, hastalanma da adını 'hastalığa' olan devinimden alır.

Demek ki 'karşıtlara' ve 'karşıtlardan karşıtlara' olan devinim kalıyor geriye. İmdi 'karşıtlara' olan devinimlerin 'karşıtlardan'

4. 229[a] 4 — 6. 229[b] 24

ἐναντίων εἶναι, ἀλλὰ τὸ εἶναι ἴσως οὐ ταὐτό, λέγω δὲ τὸ εἰς ὑγίειαν τῷ ἐκ νόσου καὶ τὸ ἐξ ὑγιείας τῷ εἰς νόσον. ἐπεὶ δὲ διαφέρει μεταβολὴ κινήσεως (ἡ ἐκ τινος γὰρ ὑποκειμένου εἴς τι ὑποκείμενον μεταβολὴ κίνησίς ἐστιν), ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον κίνησις ἐναντία, οἷον ἡ ἐξ ὑγιείας εἰς νόσον τῇ ἐκ νόσου εἰς ὑγίειαν. δῆλον δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς ὁποῖα δοκεῖ τὰ ἐναντία εἶναι· τὸ νοσάζεσθαι γὰρ τῷ ὑγιάζεσθαι καὶ τὸ μανθάνειν τῷ ἀπατᾶσθαι μὴ δι' αὐτοῦ (εἰς ἐναντία γάρ· ὥσπερ γὰρ ἐπιστήμην, ἔστι καὶ ἀπάτην καὶ δι' αὐτοῦ κτᾶσθαι καὶ δι' ἄλλου), καὶ ἡ ἄνω φορὰ τῇ κάτω (ἐναντία γὰρ ταῦτα ἐν μήκει), καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερά (ἐναντία γὰρ ταῦτα ἐν πλάτει), καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν (ἐναντία γὰρ καὶ ταῦτα). ἡ δ' εἰς ἐναντίον μόνον οὐ κίνησις ἀλλὰ μεταβολή, οἷον τὸ γίγνεσθαι λευκὸν μὴ ἔκ τινος. καὶ ὅσοις δὲ μή ἐστιν ἐναντία, ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτὸ μεταβολῇ ἐναντία· διὸ γένεσις φθορᾷ ἐναντία καὶ ἀποβολὴ λήψει· αὗται δὲ μεταβολαὶ μέν, κινήσεις δ' οὔ. τὰς δ' εἰς τὸ μεταξὺ κινήσεις, ὅσοις τῶν ἐναντίων ἔστι μεταξύ, ὡς εἰς ἐναντία πως θετέον· ὡς ἐναντίῳ γὰρ χρῆται τῷ μεταξὺ ἡ κίνησις, ἐφ' ὁπότερα ἂν μεταβάλλῃ, οἷον ἐκ φαιοῦ μὲν εἰς τὸ λευκὸν ὡς ἐκ μέλανος, καὶ ἐκ λευκοῦ εἰς φαιὸν ὡς εἰς μέλαν, ἐκ δὲ μέλανος εἰς φαιὸν ὡς εἰς λευκὸν τὸ φαιόν· τὸ γὰρ μέσον πρὸς ἑκάτερον λέγεταί πως ἑκάτερον τῶν ἄκρων, καθάπερ εἴρηται καὶ πρότερον. κίνησις μὲν δὴ κινήσει ἐναντία οὕτως ἡ ἐξ ἐναντίου εἰς ἐναντίον τῇ ἐξ ἐναντίου εἰς ἐναντίον.

6 Ἐπεὶ δὲ κινήσει οὐ μόνον δοκεῖ κίνησις εἶναι ἐναντία ἀλλὰ καὶ ἠρεμία, τοῦτο διοριστέον. ἁπλῶς μὲν γὰρ ἐναντίον

[a] 29 δὲ τῶ I 30 καὶ . . . νόσον om. E^1 τῶ I τὸ E^2 31 διαφέρη E^2 γὰρ ἔκ τινος H [b] 1 τῇ . . . ἐναντίον om. E^1 2 ἡ om. E 3 ποῖα H et fort. E^1 4 γὰρ τῷ ὑγιάζεσθαι om. E 5 μὴ δι' αὐτοῦ] ὑφ' ἑτέρου S 6 ἔστιν οὕτω καὶ $E^2\Lambda$ 7 ταὐτη E 9 τὸ om. H εἰς τὸ om. EH 10 ταῦτα ἐν βάθει. ἡ fecit F 11 γενέσθαι S μὴ] καὶ μὴ I καὶ EHIPS : om. FJ δὲ om. EPS ἐστιν] ἐστί τι I 12 ἐναντία ET : ἐναντίον ΛPS τῇ om. ET : καὶ H ταυτὸ I 14 κίνησις δ' E^1 15 εἰς om. E 17 μεταβάλλῃ ΛS : μεταβάλη E ἐκ μέλανος] μέλαν E 18 ἐκ om. J ὡς εἰς μέλαν om. E ἐκ δὲ] καὶ ἐκ I 20 πως λέγεται H ἑκάτερον om. FHI 21 καὶ ΛS : om. E ἡ om. E^1 22 τῇ . . . ἐναντίον om. E^1T 23 εἶναι om. S 24–5 ἁπλῶς . . . κίνησις om. E^1 24–5 κίνησις ἐναντίον H

olması kolaylıkla sözkonusu oluyor, ama herhalde 'varolmaları' aynı değil. Kastettiğim, 'sağlığa' giden ve 'hastalıktan' gelenin ve yine 'sağlıktan' giden ile 'hastalığa' gidenin ilgisi. Ama madem bir değişme bir devinimden farklıdır (çünkü bir taşıyıcıdan bir taşıyıcıya değişme bir devinimdir); 'bir karşıttan onun karşıtına' olan devinim, 'beriki karşıttan öteki karşıta' olan devinime karşıttır: sözgelişi 'sağlıktan hastalığa' olan devinim, 'hastalıktan sağlığa' olan devinime karşıt. Tümevarım yoluyla da karşıtların nasıl oldukları açıkça görünmekte: 'hastalanmak' 'iyileşmeye', 'öğrenmek' 'yanılmaya' kendisi bakımından [karşıt] değil (nitekim karşıta gidilebilir: sözgelişi hem bilgi hem de yanılgı hem kişinin kendisi aracılığı ile hem de başka bir kişinin aracılığı ile elde edilebilir): yukarı gidiş, aşağı gidişe (bunlar boy/boylam açısından karşıt); sağa gidiş, sola gidişe (bunlar da en/enlem açısından karşıt), öne gidiş de arkaya gidişe (çünkü bunlar da karşıtlar). Yalnızca 'karşıta' doğru olan ise bir devinim değil, bir değişmedir: sözgelişi 'neden' olduğu sözkonusu olmaksızın 'ak' haline gelmek. Ama karşıtları olmayan bütün nesneler için 'kendisinden' olan değişme 'kendisine' olan değişmeye karşıttır. Bunun için oluş yokoluşa karşıttır, yitirme de elde etmeye. Ne ki bunlar değişmeler, devinimler değil. Karşıtların bir ortası olan nesneler için 'ortaya' olan devinimlerin bir biçimde 'karşıtlara' doğru olan devinimler olarak konması gerekiyor, devinim hangi yana değişirse değişsin, 'orta' sanki 'karşıt'mış gibi kullanılır: sözgelişi 'griden' 'aka', sanki 'karadan' değişiyormuş gibi, 'aktan griye' de sanki 'karaya' değişiyormuş gibi; 'karadan griye' gidiş de sanki 'gri' 'aka' değişiyormuş gibidir. Çünkü daha önce de dediğimiz gibi, 'orta', uçların herbiriyle ilgili olarak bir biçimde herikisi olarak da adlandırılır. Demek ki bir devinime karşıt olan devinim şu: 'bir karşıttan karşıtına' olan devinim 'berikinden ötekine' olan devinime karşıt.

30 229b 5 10 15 20

6 Madem bir devinime yalnızca bir devinimin değil, durgunluğun da karşıt olduğu düşünülüyor, bunu belirlemek gerekli. Aslında

κίνησις κινήσει, ἀντίκειται δὲ καὶ ἠρεμία (στέρησις γάρ, ἔστι δ' ὡς καὶ ἡ στέρησις ἐναντία λέγεται), ποιᾷ δὲ ποιά, οἷον τῇ κατὰ τόπον ἡ κατὰ τόπον. ἀλλὰ τοῦτο νῦν λέγεται ἁπλῶς· πότερον γὰρ τῇ ἐνταῦθα μονῇ ἡ ἐκ τούτου ἢ ἡ εἰς τοῦτο κίνησις ἀντίκειται; δῆλον δὴ ὅτι, ἐπεὶ ἐν δυσὶν ἡ κίνησις ὑποκειμένοις, τῇ μὲν ἐκ τούτου εἰς τὸ ἐναντίον ἡ ἐν τούτῳ μονή, τῇ δ' ἐκ τοῦ ἐναντίου εἰς τοῦτο ἡ ἐν τῷ ἐναντίῳ. ἅμα δὲ καὶ ἀλλήλαις ἐναντίαι αὗται· καὶ γὰρ ἄτοπον, εἰ κινήσεις μὲν ἐναντίαι εἰσίν, ἠρεμίαι δ' ἀντικείμεναι οὐκ εἰσίν. εἰσὶν δὲ αἱ ἐν τοῖς ἐναντίοις, οἷον ἡ ἐν ὑγιείᾳ τῇ ἐν νόσῳ ἠρεμία (κινήσει δὲ τῇ ἐξ ὑγιείας εἰς νόσον· τῇ γὰρ ἐκ νόσου εἰς ὑγίειαν ἄλογον——ἡ γὰρ εἰς αὐτὸ κίνησις ἐν ᾧ ἕστηκεν, ἠρέμησις μᾶλλόν ἐστιν, ἢ συμβαίνει γε ἅμα γίγνεσθαι τῇ κινήσει—— ἀνάγκη δὲ ἢ ταύτην ἢ ἐκείνην εἶναι)· οὐ γὰρ ἥ γ' ἐν λευκότητι ἠρεμία ἐναντία τῇ ἐν ὑγιείᾳ. ὅσοις δὲ μὴ ἔστιν ἐναντία, τούτων μεταβολὴ μέν ἐστιν ἀντικειμένη ἡ ἐξ αὐτοῦ τῇ εἰς αὐτό, κίνησις δ' οὐκ ἔστιν, οἷον ἡ ἐξ ὄντος τῇ εἰς ὄν, καὶ μονὴ μὲν τούτων οὐκ ἔστιν, ἀμεταβλησία δέ. καὶ εἰ μέν τι εἴη ὑποκείμενον, ἡ ἐν τῷ ὄντι ἀμεταβλησία τῇ ἐν τῷ μὴ ὄντι ἐναντία. εἰ δὲ μὴ ἔστι τι τὸ μὴ ὄν, ἀπορήσειεν ἄν τις τίνι ἐναντία ἡ ἐν τῷ ὄντι ἀμεταβλησία, καὶ εἰ ἠρεμία ἐστίν. εἰ δὲ τοῦτο, ἢ οὐ πᾶσα ἠρεμία κινήσει ἐναντία, ἢ ἡ γένεσις καὶ φθορὰ κίνησις. δῆλον τοίνυν ὅτι ἠρεμία μὲν οὐ λεκτέα, εἰ μὴ καὶ αὗται κινήσεις, ὅμοιον δέ τι καὶ ἀμεταβλησία· ἐναντία δὲ ἢ οὐδενὶ ἢ τῇ ἐν τῷ μὴ ὄντι ἢ τῇ φθορᾷ· αὕτη γὰρ ἐξ αὐτῆς, ἡ δὲ γένεσις εἰς ἐκείνην.

ἀπορήσειε δ' ἄν τις

